ἄλλοτι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν. Ὑψιπύλης. Φοινισσῶν. Ἀντιόπης. ἡ γὰρ Ἀνδρομέδα ὀγδόῳ ἔτει προῆκται. ἐπεὶ οὐ συκοφαντητέα ἦν τὰ τοιαῦτα. Μικρὸς ἡλίκος Μόλων.] παίζει. ἔστι γὰρ μεγαλόσωμος ὁ Μόλων. Δίδυμος δέ φησιν ὅτι δύο Μόλωνές εἰσιν, ὁ ὑποκριτὴς, καὶ ὁ λωποδύτης, καὶ μᾶλλον λωποδύτην λέγει, ὃς ἐστὶ σμικρὸς τὸ σῶμα. Τιμαχίδας δὲ, τὸν ὑποκειμένον λέγεσθαι Μόλωνα. ἄλλως γράφεται μακρός. ἵνα ὁ Κροτωνιάτης νοῆται. ἀνὴρ μεγάλῳ σώματι παρὰ τὴν φύσεως κεκοσμημένος ὡς τοῖς ὁρῶσι παρέχειν ἔκπληξιν. ἐγένοντο δὲ αὐτῷ ἓξ ἐν Ὀλυμπίᾳ πάλῃ νῖκαι. μία δ' ἐν παισὶν ἐξ αὐτῶν. Πυθοῖ δὲ ἕντε ἀνδράσιν ἓξ καὶ μία ἐν τοῖς ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν. ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμασίθεον πολίτην τε ὄντα αὐτοῦ καὶ ἡλικίᾳ νέον. λέγεται δὲ καὶ ὡς κομίσειεν αὐτὸς αὐτοῦ τὸν ἀνδριάντα ἐς Ἄλτιν. λέγεται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ καὶ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτως εἶχε βιαζομένην, ὥστε αὐτὸς λυμήνασθαι πιέζων. ἱστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν αὐτόν. ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαινομένῳ ξύλῳ. σφῆνες δὲ ἐγκείμενοι διίστασαν τὸ ξύλον. ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων, καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον. ὀλισθάνουσί τε δὴ οἱ σφῆνες. καὶ ἐχόμενος ὑπὸ τοῦ ξύλου λύκοις ἐγένετο εὕρημα, μάλιστα δέ πως τὸ θηρίον τοῦτο ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται καὶ ἄφθονον. ταῦτα δέ φησι κατὰ λέξιν Παυσανίας ἐν δευτέρῳ Ἠλείων.

Bisetus. Locus ex Pausania] Ἐγένοντο δὲ τῷ Μίλωνι ἓξ μὲν ἐν Ὀλυμπίᾳ πάλης νῖκαι, μία ἐν παισὶν ἐξ αὐτῶν. Πυθοῖ δὲ, ἕντε ἀνδράσιν ἓξ, καὶ μία ἐν τοῖς ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν. ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμόθεον πολίτην τε ὄντα αὐτοῦ, καὶ ἡλικίᾳ νέον. πρὸς δὲ καὶ συνεγγὺς οὐκ ἐθέλοντα ἵστασθαι. λέγεται δὲ ὡς ἐσκομίσειεν αὐτὸς αὐτοῦ τὸν ἀνδριάντα ἐς τὴν Ἄλτιν ὁ Μίλων. λέγεται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ, καὶ τῷ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτω κατεῖχεν, ὡς μήτε ἄλλῳ παρεῖναι βιαζομένῳ, μήτε αὐτὸς λυμήνασθαι πιέζων. ἱστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε, καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. παρείχετο δὲ καὶ ἄλλα τοιάδε ἐς ἐπίδειξιν. περιέδει τῷ μετώπῳ χορδὴν, κατὰ ταῦτα δὲ καὶ εἰ ταινίαν περιθεῖτο, ἢ στέφανον, κατέχων δὲ ἐντὸς χειλῶν τὸ ἆσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας διερρήγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδήν. λέγεται δὲ καὶ ὡς τῆς δεξιᾶς χειρὸς τὸ μὲν ἐς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ' αὐτὴν καθίει τὴν πλευράν. τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων. τὸ μὲν αὐτῶν ἀναστρέφων τὸν ἀντίχειρα ἐς τὸ ἄνω. τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον, τὸν ἐλάχιστον τῶν δακτύλων κάτω γινόμενον, οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν αὐτόν. ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαινομένῳ ξύλῳ. σφῆνες δὲ ἐγκείμενοι διίστασαν τὸ ξύλον. ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον. ὀλισθαίνουσί τε δὴ οἱ σφῆνες, καὶ ἐχόμενος ὁ Μίλων ὑπὸ τοῦ ξύλου, λύκοις ἐγίγνετο εὕρημα. μάλιστα δέ πως τὸ θηρίον τοῦτο ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται, καὶ ἄφθονον. ταῦτα δέ φησι Παυσανίας κατὰ λέξιν ἐν β. Ἠλείων. Τούτου δὲ τοῦ Μίλωνος τοῦ παλαιστοῦ καὶ ὁ Θεόκριτος εἰδ. δ. μέμνηται,

Βατ. Ὠὐτὸς δ' ἐστὶν ἄφαντος ὁ βωκόλος ᾤχετο χῶραν;

Κορ. Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.

καὶ

Βατ. Πεῖσαι τοὶ Μίλων καὶ τὼς λύκως αὐτίκα λυσσῆν.

Κορ. Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦντι.

Ηρ. Γυναικός; Δι. οὐ δῆτ'. Ηρακλ. ἀλλὰ παιδός;

Δι. οὐδαμῶς.

Ηρ. Ἀλλ' ἀνδρός; Δι. ἀππαπαῖ. Ηρακλ. ξυνεγένου Κλεισθένει;

Δι. Μὴ σκῶπτέ μ' ὦ 'δελφ'. οὐ γὰρ, ἀλλ' ἔχω κακῶς.

Τοιοῦτος ἵμερός με διαλυμαίνεται.

Ηρ. Ποῖός τις; ὦ δελφίδιον. Δι. Οὐκ ἔχω φράσαι.

Ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.

Ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;

Ηρα. Ἔτνους; βαβαιὰξ, μυριάκις ἐν τῷ βίῳ.

Δι. Ἆρ' ἐκδιδάσκω τὸ σαφὲς, ἢ 'τέρᾳ φράσω;

Ηρ. Μὴ δῆτα περὶ ἔτνους γε. πάνυ γὰρ μανθάνω.

HE. *Num mulieris?* BA. *haudquaquam.* HE. *sed pueri.* BA. *neutiquam.*

HE. *Sed viri.* BA. *atat.* HE. *num ergo tu fellasti Clisthenem?*

BA. *Ne ludifices me frater: enimuerò malè*

*Habeo, quandoquidem me tanta cupiditas tenet.*

HE. *Quænam cupiditas, mi fratercule?* BA. *non queo*

*Dicere: sed dicam tibi per ænigmata tamen.*

*Vnquámne tu repente petÿsti fabæ*

*Pultem?* HE. *fabæ pultem? hui, plus decies millies*

*In vita.* BA. *quid? clarè hoc dico, an aliud loquar?*

HE. *Nihil de fabis, nam satis isthæc intelligo.*

Σχόλια. Γυναικός. οὐ δῆτα.] τινὲς ἀπὸ τοῦ γυναικὸς ἀμοιβαῖα ποιοῦσι. τινὲς δέ φασιν ὅλον τὸν Ηρακλέα λέγειν, λογιζόμενον τίνος ἠράσθη Διόνυσος. τοῦ δὲ Διονύσου εἰπόντος τὸ ἀππαπαί, ὁ Ηρακλῆς ὑποπτεύει, ἀνδρὸς ἐρασθῆναι Κλεισθένους τὸν Διόνυσον. Ἀππαπαί.] γράφεται ἀππαπαί διὰ τοῦτο οὐ καταθεμένου τοῦ Διονύσου, καὶ ὁ Ηρακλῆς ἐπήνεγκε, μὴ τοῦ Κλεισθένους, διὰ τὸ ἐπεστράτευον Κλεισθένει. Οὐ γὰρ ἀλλ' ἔχω κακῶς.] ἀντὶ τοῦ καὶ γὰρ ἀλλὰ παρέλκει Ἀττικῶς. ἀντὶ τοῦ ἔχω γὰρ κακῶς. Ἔτνους.] ὀσπρείου πιστινοῦ. ὡς ἀδηφάγον δὲ τὸν Ηρακλέα κωμῳδοῦσι. τὸ δὲ ἔτνος εἶδος ἀθάρας. οἱ δὲ ἀνδρεῖοι καὶ πρὸς τὰς μάχας θαυμαστοὶ ἔτνος ἐσθίουσιν ὡς συντελοῦν αὐτοῖς πλεῖστα ὡς οἱ περὶ ταῦτα δεινοὶ λέγουσιν. Ἑτέρᾳ φράσω.] διδάσκω σε ὡς ἐρῶ. ὑποβαλών σοι τὸν ἔρωτα τοῦ ἔτνους. ἢ ἄλλῳ τινὶ ὑποδείγματι φράσω. ἔστι δὲ ἡμιστίχιον ἐξ Εὐριπίδου.